# TEZAUR LITURGIC

**1 MAI**

**HARALAMBOS BOUSIA**

# SLUJBA
## SF.CUVIOŞI
# GHERVASIE
## ŞI
# GHEORGHE
## DE LA
## GOMATIU HALKIDIKI

**ATENA,2015**

www.tezaurliturgic.ro



# 01 ΜΑΪΟΥ
# ΓΕΡΒΑΣΙΟΣ & ΓΕΩΡΓΙΟΣ
# ΟΣΙΟΙ ΓΟΜΑΤΙΟΥ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῶν Ὁσίων. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε, φιλεόρτων οἱ χοροί, καὶ τοῦ Γοματίου οἱ δῆμοι, ψαλμοῖς καὶ ὕμνοις φαιδροῖς, μνήμην τὴν ἐτήσιον, πανηγυρίσωμεν, Γεωργίου τοῦ μάκαρος, καὶ τοῦ Βγερβασίου, τοῦ ὀλβίου κράζοντες· δυὰς πανεύφημε, σπεῦσον καὶ ἐκλύτρωσαι πάντας, συμφορῶν δεινῶν καὶ κινδύνων, ταῖς πρὸς τὸν Φιλάνθρωπον πρεσβείαις σου.

Ἔργοις, ἀγαπήσεως Χριστοῦ, δέδωκας προθύμῳ καρδίᾳ, σαὐτὸν Γεώργιε, γνώμην ἐλεήμονα ἐπιδεικνύμενος, καὶ ἐργάτης γενόμενος, σοφὲ ἀμπελώνων, βοηθῶν τοῖς στένουσι, καὶ χρείαν ἔχουσι, γόνε, Γοματίου θεόφρον· ὅθεν καὶ Χριστὸς ἀσυλήτου, πλούτου ἐν τῷ πόλῳ σε ἠξίωσε.

Στέφος, ἀφθαρσίας ἐκ Θεοῦ, δι᾽ ἀσκητικῆς πολιτείας, καὶ ἄκρας ὑπομονῆς, Ὅσιε Γερβάσιε, λαμπρῶς ἀεπίληφας, Γοματίου ἀγλάϊσμα, καὶ τῆς Καρακάλου, Μάνδρας ἐνδιαίτημα, σεπτὸν ἐφάμιλλος,

πάντων, ἐποφθεὶς τῶν Ὁσίων, τῶν σαλῶν Χριστοῦ κεκλημένων, καὶ ὑπενεγκάντων χλεύην ἄμετρον.

Χαίροις, θεοφόρε ξυνωρίς, γνήσιε Γεώργιε φίλε, τοῦ Ζωοδότου Χριστοῦ, καὶ Ὁσίων σύσκηνε, σοφὲ Γερβάσιε, ἡ ἐσχάτοις ἐν ἔτεσι, δοξάσασα πίστει, τὸν Χριστὸν καὶ ὕπουλον, ἐχθρὸν αἰσχύνασα· ὅθεν, Γοματίου ἡ κώμη, ὡς ὑμῶν καλλίπαις γενέτις, χαίρει δι᾽ ὑμᾶς καὶ ἐμφαιδρύνεται.

*Δόξα. Ἦχος δ΄.*

Τὸν δόλιχον ἐπιτυχῶς διαδραμόντες, τῆς ἐν Χριστῷ πολιτείας, νίκης στεφάνων ἀμαραντίνων, κατηξιώθητε Ὅσιοι, καὶ τῆς αἰωνίου ἐτύχετε μακαριότητος. Γοματίου γόνοι παγγέραστοι, οἱ τὸν ζυγὸν τοῦ Κυρίου ἀράμενοι, Γεώργιε δίκαιε, καὶ ταπεινώσεως ἔκτυπον Γερβάσιε, Χριστῷ πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίρετε θαυμαστοί, τοῦ Γοματίου γόνοι, Γεώργιε τρισμάκαρ, καὶ ταπεινοφροσύνης, ἀκρώρεια Γερβάσιε.

Στ.: *Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Πρότυπον ἀληθοῦς, φιλαδελφίας ὤφθης, καὶ ἄκρας σωφροσύνης, Γεώργιε θεόφρον, ἐν τοῖς ὑστέροις ἔτεσιν.

Στ.: *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τὸν Κυρίου πᾶσα ἡ γῆ.*

Τῶν ἐν Χριστῷ σαλῶν, μιμούμενος τὰς τρίβους, Γερβάσιε ἐπώφθης, ἀκτημοσύνης κέρας, καὶ γνώμων ταπεινώσεως.

*Δόξα. Τριαδικόν.*

Ἄναρχε πανσθενές, καὶ τριλαμπὲς Θεότης, ἐλέησον τὸν κόσμον, ἑκάστῳ χορηγοῦσα, κατ' ἄμφω θείαν δύναμιν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἄνασσα οὐρανῶν, καὶ γῆς μὴ ἐπιλάθῃ, τῶν Σὲ ὁμολογούντων, ὡς μόνην Θεοτόκον, ἐν ὥρᾳ τῆς ἐτάσεως.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Τοῦ Ὁσίου Γεωργίου. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Πρακτικῆς ἀνεδείχθης ἀγάπης ἔκτυπον, φιλαλληλίας ἀκρότης καὶ συμπαθείας κανών, Γοματίου ῥόδον πάντερπνον Γεώργιε, σὺ γὰρ σωφρόνως εὐσεβῶς, καὶ δικαίως ἐπὶ γῆς, βιώσας πρὸς πόλον ἤρθης, καὶ πρεσβεύεις νῦν τῷ Κυρίῳ, ὑγείαν πέμψαι καὶ εἰρήνην ἡμῖν.

*Δόξα. Τοῦ Ὁσίου Γερβασίου. Ὅμοιον.*

Γοματίου τὸ ἄνθος τὸ εὐωδέστατον, τὸ ἐν ἐσχάτοις ἀνθῆσαν τοῖς χρόνοις ἐν τῇ Μονῇ, Καρακάλλου γηθοσύνως ἀναμέλψωμεν· τὸν ἑαυτὸν ποιοῦν σαλόν, καὶ παντοίων χλευασμῶν, τὸ ὄνειδος ὑποφέρον, αὐτῷ

βοῶντες· κινδύνων, ῥῦσαι ἡμᾶς ταῖς πρὸς Κτίστην λιταῖς.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ’ τῆς Ἑορτῆς, καὶ γ’ τῶν Ὁσίων. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τὴν ἱερὰν ξυνωρίδα πηγὴν τὴν δίκρουνον, τὴν ἀειῤῥόως πᾶσιν, ἀναβλύζουσαν ῥεῖθρα, ἰάσεων ἐν ὕμνοις χρεωστικῶς, ἐπαινέσωμεν κράζοντες· Χαῖρε Γεώργιε θεῖε καὶ μοναστῶν, ἀγαλλίαμα Γερβάσιε.

Φιλελεήμονι γνώμῃ σοφὲ Γεώργιε, πενήτων καὶ πασχόντων, ταχινὸς ἀντιλήπτωρ, ἐδείχθης θεραπεύων πᾶσαν αὐτῶν, χρείαν ἐν περιστάσεσι, δειναῖς· διὸ καὶ ἀξίως παρὰ Θεοῦ, τὸν μισθὸν σῶν πόνων δέδειχας.

Τοῦ Γοματίου τὸν γόνον τὸν ἱερώτατον, καὶ Καρακάλλου θρέμμα, ὁσιώτατον πάντες, Γερβάσιον τιμήσωμεν εὐλαβῶς, ταπεινώσεως πρότυπον, ὅτι πρεσβεύει ἀπαύστως ὑπὲρ ἡμῶν, λυτρωθῆναι πάσης θλίψεως.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε φιλεόρτων αἱ χορεῖαι, συνελθοῦσαι σήμερον, πνευματικὴν πανήγυριν συστησώμεθα, ἐν τῇ ἐνδόξῳ

μνήμῃ, τῶν τῆς εὐσήμου κώμης Γοματίου γόνων, καὶ αὐτοὺς ἐπαίνων ὕμνοις, ἀξίως καταστέψωμεν. Οὗτοι γὰρ διεστηκότες τοῖς σώματι, καὶ συνημμένοι τῷ πνεύματι, ἀπαθείας ὤφθησνα κειμήλια, καὶ τὰ γέρα τῶν καμάτων αὐτῶν, κομισάμενοι παρὰ Κυρίου, ἐν οὐρανοῖς νῦν χοροβατοῦσι μετ᾽ Ἀγγέλων. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ πολυεύσπλαγχνε, ἐν εἰρήνῃ τὴν ζωὴν ἡμῶν διαφύλαξον, καὶ ἐν ἡμέρᾳ τῆς Κρίσεως μὴ ἐπιλάθῃ ἡμῶν, ἀλλὰ μετὰ τῶν σῳζομένων κατάταξον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Καὶ νῦν. Θεοτοκίον. Τὸ δογματικὸν τοῦ τυχόντος ἤχου τῆς Ἑβδομάδος.*

*Εἴσοδος. Φῶς ἱλαρόν.*

*Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ιθ΄, 11-23)*

Ἐλεήμων ἀνὴρ μακροθυμεῖ, τὸ δὲ καύχημα αὐτοῦ ἐπέρχεται παρανόμοις. βασιλέως ἀπειλὴ ὁμοία βρυγμῷ λέοντος, ὥσπερ δὲ δρόσος ἐπὶ χόρτῳ, οὕτως τὸ ἱλαρὸν αὐτοῦ. αἰσχύνη πατρὶ υἱὸς ἄφρων· οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας. οἶκον καὶ ὕπαρξιν μερίζουσι πατέρες παισί, παρὰ δὲ Κυρίου ἁρμόζεται γυνὴ ἀνδρί. δειλία κατέχει ἀνδρόγυνον, ψυχὴ δὲ ἀεργοῦ πεινάσει. ὃς φυλάσσει ἐντολήν, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν ἀπολεῖται. δανείζει Θεῷ ὁ ἐλεῶν πτωχόν, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ. παίδευε υἱόν σου,

οὕτως γὰρ ἔσται εὔελπις, εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου. κακόφρων ἀνὴρ πολλὰ ζημιωθήσεται· ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ προσθήσει. ἄκουε, υἱέ, παιδείαν πατρός σου, ἵνα σοφὸς γένῃ ἐπ᾽ ἐσχάτων σου. πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός, ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει. καρπὸς ἀνδρὶ ἐλεημοσύνη, κρείσσων δὲ πτωχὸς δίκαιος ἢ πλούσιος ψεύστης. φόβος Κυρίου εἰς ζωὴν ἀνδρί, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις, οὗ οὐκ ἐπισκοπεῖται γνῶσις.

*Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα (Κεφ. ζ΄, 10-17)*

Υἱέ, μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου καὶ ἐλεημοσύνην ποιῆσαι μὴ παρίδῃς. μὴ καταγέλα ἄνθρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, ἔστι γὰρ ὁ ταπεινῶν καὶ ἀνυψῶν. μὴ ἀροτρία ψεῦδος ἐπ᾽ ἀδελφῷ σου, μηδὲ φίλῳ τὸ ὅμοιον ποίει. μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος, ὁ γὰρ ἐνδελεχισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν. μὴ ἀδελέσχει ἐν πλήθει πρεσβυτέρων καὶ μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου. μὴ μισήσῃς ἐπίπονον ἐργασίαν καὶ γεωργίαν ὑπὸ Ὑψίστου ἐκτισμένην. μὴ προσλογίζου σεαυτὸν ἐν πλήθει ἁμαρτωλῶν. μνήσθητι ὅτι ὀργὴ οὐ χρονιεῖ. ταπείνωσον σφόδρα τὴν ψυχήν σου, ὅτι ἐκδίκησις ἀσεβοῦς πῦρ καὶ σκώληξ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. Δ΄, 7-15).*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν

μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ἀγαλλομένῳ ποδὶ χόρευε τοῦ Γοματίου ἡ κώμη, καὶ δόξασον τὸν Κύριον ὅτι ἐκ σοῦ ἐβλάστησεν, ἐν τοῖς ὑστέροις χρόνοις Γεώργιος ὁ θεῖος. Οὗτος γὰρ τὸν ζυγὸν τῆς πίστεως ἀράμενος ἐπ’ ὤμων, εὐαγγελικῶς ἐπολιτεύθη, τὴν ἀγάπην προβάλλων ὡς σκῆπτρον ἀτίμητον, καὶ θησαυρὸν σωτήριον. Εὐεργετήσας γὰρ τοὺς κάμνοντας, θεραπεύσας τὴν ἔνδειαν τῶν πενήτων, καὶ χειμαζομένοις βοηθήσας, Χριστῷ εὐηρέστησε, τῷ αὐτὸν ποιήσαντι προστάτην ἡμῶν, ἐν δίναις ἀπροσμάχητον.

*Ἦχος β΄.*

Ὁλοσχερῶς τὸν Κύριον ἀγαπήσας, τῆς μοναδικῆς πολιτείας τὰς τρίβους διώδευσας, ἀνακαθάρας σεαυτὸν πάσης γηΐνης σχέσεως. Καὶ ἀρετῶν δοχεῖον

ἀτίμητον γενόμενος, τῆς ταπεινώσεως τὴν χάριν, καὶ τὴν ἐκ ταύτης ἀποῤῥέουσαν ἡδύτητα, πᾶσιν ὑπέδειξας. Καὶ νῦν Γερβάσιε Ὅσιε, Καρακάλλου Μονῆς σεμνολόγημα, τῷ ἀκροτάτῳ τῶν ἐφετῶν προσπελάζων, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Ἔλαμψε σήμερον τοῖς πέρασι, ὡς ἀστὴρ νεολαμπής, Γεώργιος ὁ παναοίδιμος, φωτίζων τὸ νοητὸν τῆς Ἐκκλησίας στερέωμα. Οὗτος γὰρ ἐν τῇ κονίστρᾳ, τῶν πνευματικῶν αὐτοῦ ἀγώνων, τὸ ζῆν ἐξεμέτρησεν, εὐαρεστήσας τῷ Κυρίῳ, καὶ τοὺς εὐσεβῶν δήμους εὐφράνας. Καὶ τὸ μὲν σῶμα αὐτοῦ, θαυμαστῷ τρόπῳ ἐνεταφιάσθη, τὸ δὲ πνεῦμα αὐτοῦ ἤρθη πρὸς Κύριον, ἵνα πρεσβεύῃ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος δ΄.*

Θεοπρεπῆ ἑλόμενος βίον, τῶν κατὰ Χριστὸν σαλῶν Ὁσίων, τὴν πολιτείαν ἐζήλωσας, Γερβάσιε Πάτερ θειότατε· ὅλην γὰρ τὴν ἔφεσιν ἀνατείνας τῷ Κυρίῳ, τὴν μὲν σάρκα ἐνέκρωσας, τὴν δὲ ψυχὴν ἐπτέρωσας, πολλῇ τῇ ταπεινώσει· διὸ Χριστὸς ὁ Θεὸς ἐδόξασέ σε, πληρῶν σὸν σκῆνος δι’ εὐωδίας μετὰ πότμον, ὁ παρέχων ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ἡγιασμένη δυάς, ἡ ἐν ἐσχάτοις τοῖς καιροῖς ἐξαστράψασα, καὶ πᾶσαν τὴν οἰκουμένην,

χρηστοηθείας βολαῖς, καὶ ἀτρήτων πόνων, καταυγάσασα· Γεώργιε πάνσοφε, ἀρετῆς ἐνδιαίτημα, ὁ ἐπαρκέσας, τοῖς πτωχοῖς καὶ τοῖς πάσχουσι, καὶ Γερβάσιε, τῶν Ὁσίων ὁμόσκηνε· πάντοτε τὸν παντάνακτα, Χριστὸν ἱκετεύσατε, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν φωταυγῆ καὶ σεβάσμιον, ὑμῶν θείαν μνήμην, Γοματίου γόνοι ὄντως, φωτοειδέστατοι.

Στ.: *Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις, φιλανθρωπίας λειμών, ὁ ἀγαπήσεως ἡδύπνευστα λείρια, ἀνθήσας καὶ τοὺς ἐν νόσοις, καὶ δυσχερείαις δεινῶς, τρυχομένους ἔργοις, εὐσπλαγχνίας σου, Γεώργιε δίκαιε, κατευφράνας ὀσφράδιον, τοῦ Γοματίου, καὶ πληρώσας τὴν ἔνδειαν, τῷ τῶν πραξέων, πλούτῳ σῆς ἀγαθότητος· πάντων ἐργάτης ἄμισθος, καμνόντων τρισόλβιε, ἐγένου θέλων βιῶναι, ὡς τῆς σῆς κώμης ὁ ἔσχατος· διὸ καὶ πρωτείων, ἐν τῇ δόξῃ τοῦ Κυρίου, ἀξίως ἔτυχες.

Στ.: *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τὸν Κυρίου πᾶσα ἡ γῆ.*

Χαίροις, ὁ Γοματίου βλαστός, καὶ Καρακάλλου θείας Μάνδρας ἀνάστημα, Γερβάσιε θεοφόρε, ὁ τοὺς Ὁσίων χορούς, ἐπαυξήσας ἄρτι, βίῳ κρείττονι· τρωθεὶς γὰρ τῷ ἔρωτι, Ἰησοῦ τοῦ παντάνακτος, τῶν ἐν τῷ κόσμῳ, ἀγαθῶν ξένος πέφηνας, βιωσάμενος, πολιτείαν ἰσάγγελον· ὅθεν καὶ ταπεινώσεως, ἐπώφθης ἀνάκτορον, ὡς ὁ σαλὸς ὁ Ἀνδρέας, οὗς τοὺς ἀγῶνας

μιμήσασθαι, ἐπόθησας Πάτερ, ἁμιλλώμενος ἐκείνου, τὰ κατορθώματα.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῷ πυρὶ τῆς ἀγάπης τοῦ Κυρίου τηκόμενοι, τὴν στολὴν τῆς ψυχῆς ἐλαμπρύνατε θείῳ Πνεύματι, Πατέρες τρισόλβιοι δαιμόνων ἀντίπαλοι· ἀνατείλαντες γὰρ φαιδρῶς ἐν Γοματίῳ, καὶ ἰσαγγέλως πολιτευσάμενοι, ὡς Ἑωσφόροι νεολαμπεῖς ἐφαιδρύνατε, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν. Καὶ νῦν ἐν πόλῳ οἰκοῦντες, καὶ τὸν Κύριον ὁρῶντες ἰδίοις ὄμμασι, Γεώργιε καὶ Γερβάσιε, Αὐτὸν ἱκετεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Τοῦ Ὁσίου Γεωργίου. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Πρακτικῆς ἀνεδείχθης ἀγάπης ἔκτυπον, φιλαλληλίας ἀκρότης καὶ συμπαθείας κανών, Γοματίου ῥόδον πάντερπνον Γεώργιε, σὺ γὰρ σωφρόνως εὐσεβῶς, καὶ δικαίως ἐπὶ γῆς, βιώσας πρὸς πόλον ἤρθης, καὶ πρεσβεύεις νῦν τῷ Κυρίῳ, ὑγείαν πέμψαι καὶ εἰρήνην ἡμῖν.

*Δόξα. Τοῦ Ὁσίου Γερβασίου. Ὅμοιον.*

Γοματίου τὸ ἄνθος τὸ εὐωδέστατον, τὸ ἐν ἐσχάτοις ἀνθῆσαν τοῖς χρόνοις ἐν τῇ Μονῇ, Καρακάλλου γηθοσύνως ἀναμέλψωμεν· τὸν ἑαυτὸν ποιοῦν σαλόν, καὶ παντοίων χλευασμῶν, τὸ ὄνειδος ὑποφέρον, αὐτῷ

βοῶντες· κινδύνων, ῥῦσαι ἡμᾶς ταῖς πρὸς Κτίστην λιταῖς.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α᾽ Στιχολογίαν,*

*Κάθισμα. Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἐνθέοις πράξεσι, πολλῇ χρηστότητι, φιλανθρωπίᾳ τε, καὶ ἀγαθότητι, τῶν δοξασάντων πρὶν Χριστόν, τοῖς ἴχνεσιν ἐν ὑστέροις, τοῖς καιροῖς ἐβάδισας, καὶ πολλοὺς εὐηργέτησας, ἐνδεεῖς καὶ πάσχοντας, Γοματίου θησαύρισμα· διό σοι ἐκβοῶμεν ᾀσμένως· Χαῖρε Γεώργιε τρισμάκαρ.

*Δόξα.*

Τὴν σὴν γενέτειραν, ἐμφρόνως ἔλιπες, καὶ πρὸς τὸν Ἄθωνα, προθύμως ἔδραμες, ἵνα Χριστῷ προσηλωθῇς, ἀγλάϊσμα Καρακάλλου· ὅθεν θείας χάριτος, ἀνεδείχθης κειμήλιον, ὕψος ταπεινώσεως, καὶ ἀσκήσεως ἔκτυπον· διό σοι γηθοσύνως βοῶμεν· Χαῖρε Γερβάσιε θεόφρον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β᾽ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Καταλιπὼν τὴν τῶν φθαρτῶν κοινωνίαν, καὶ τὴν ἀζύγων πολιτείαν ποθήσας, ἐν τοῖς ἐσχάτοις ἔτεσιν ἐν

Ἄθῳ λαμπρῶς, ὡς ἀστὴρ διέλαμψας, ταπεινόφρονι γνώμῃ, ἐγκρατείας σκάμμασι, καὶ εὐχῇ ἀσιγήτῳ· διό σε πάντες ἄνθος θαυμαστόν, τοῦ Καρακάλλου, τιμῶμεν Γερβάσιε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*
*Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς λύχνοι νοητοί, ἀρετῶν οὐρανίων, φαιδρύνετε ἀεί, τὴν Χριστοῦ Ἐκκλησίαν, θεόφρον Γέωργιε, καὶ Γερβάσιε πάνσοφε, ἐπυρσεύοντες, τοὺς τὴν ὑμῶν θείαν μνήμην, ἑορτάζοντες, μαρμαρυγαῖς τῆς ἀφάτου, ὑμῶν ἀγαπήσεως.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Στ.: *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τὸν Κυρίου πᾶσα ἡ γῆ.*

Εὐαγγέλιον, Ὁσιακόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τῶν Σῶν Ὁσίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιοι Πατέρες Γοματίου δυὰς ὑπέρτιμε, τῷ θείῳ φωτὶ καταυγασθέντες τὴν καρδίαν, ὅλην ὑμῶν τὴν βιοτὴν Χριστῷ καθιερώσατε. Καὶ διαφόροις τρόποις

πόνων ἀκολουθήσαντες, πρὸς τὸ ὕψος τοῦ οὐρανοῦ συνεκλίνατε, κληρονόμοι γενόμενοι τῆς ἀλήκτου μακαριότητος. Αὐτῆς καὶ ἡμᾶς ἀξιώσατε, λύχνοι πάμφωτοι πίστεως, Γερβάσιε καὶ Γεώργιε, ταῖς πρὸς τὸν παντάνακτα Θεόν, ἀδιαλείπτοις ὑμῶν πρεσβείαις.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τῶν Ὁσίων δύο.

Ὁ α’ Κανών, τοῦ Ὁσίου Γεωργίου, οὗ ἡ ἀκροστιχίς: *Γοματίου τὸ ἄνθος, Γεώργιος, τιμάσθω. Χα*ραλάμπους.

*ᾨδὴ α’. Ἦχος δ’. Ἀνοίξω τὸ στόμα μου.*

Γεραίρειν Γεώργιον, Χριστὲ τὰ χείλη μοι ἄνοιξον, καὶ μέλπειν ἀξίωσον, τὴν καθαρὰν βιοτήν, ὕμνοις πρέπουσιν, αὐτοῦ τοῦ Γοματίου, ὀφθέντος ἀκέστορος, καὶ ἀντιλήπτορος.

Ὁσίως ἐβίωσας, καὶ μυλωθροῦ μετερχόμενος, τὸ ἔργον ἐχόρτασας, τοὺς πενομένους δεινῶς, εὐποιΐαις σου, τοὺς ἐν τῷ Γοματίῳ τοὺς ξένους ἑκάστοτε, τοὺς προσιόντας σοι.

Μακρύνας Γεώργιε, τῆς ἁμαρτίας τῆς χείρονος, τοὺς παῖδάς σου ὤτρυνας, Χριστῷ τῷ μόνῳ Θεῷ, καὶ παντάνακτι, ἀρέσκειν ἵνα χάριν, καὶ ἔλεος εὕρωσιν, ἐν ὥρᾳ Κρίσεως.

*Θεοτοκίον.*

Ἀφράστως ἐκ μήτρας Σου, τῆς παναγίας Μητρόθεε, προῆλθεν ὁ Κύριος, ὁ γένος ἅπαν βροτῶν, τὸ

τηκόμενον, ἀπέλπιδι θανάτῳ, καινίσας πανύμνητε, δι᾽ ἀγαθότητα.

Ὁ β᾽ Κανών, τοῦ Ὁσίου Γερβασίου, οὗ ἡ ἀκροστιχίς: *Γερβασίῳ τῷ ὀλβίῳ, μέλισμα. Χαραλάμπους.*

*Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.*

Γερβάσιον ἔνδοξον, τιμᾶν σεπτοῖς μελῳδήμασιν, παντάναξ καὶ Κύριε, τοῦ οὐρανοῦ καὶ τῆς γῆς, μὲ ἀξίωσον, τὸν ἐν τοῦ Καρακάλλου, τῇ Μάνδρᾳ ἀσκήσαντα, καὶ ἁγιάσαντα.

Ἐνθέου φρονήματος, πλησθεὶς τρισμάκαρ Γερβάσιε, τὸν κόσμον κατέλιπες, καὶ τὰ τοῦ βίου τερπνά· ὅθεν ᾤκησας, ἐν τῇ τῶν Πρωτοθρόνων, Μονῇ ἐν τῷ Ἄθωνι, ἀξιοθαύμαστε.

Ῥυπώδη θελήματα, τὰ ψυχοφθόρα Γερβάσιε, ἀπέπλυνας χεύμασιν, ἀφθόνοις ἐγκατρευτά, τῶν δακρύων σου, καὶ ῥείθροις σῶν τιμίων, ἱδρώτων οὓς ἔχεας, καρτερικώτατα.

*Θεοτοκίον.*

Βλαστήσασα Δέσποινα, τῆς σωτηρίας τὸν ἄσταχυν, Δεσπότην καὶ Κύριον, τὸν τῆς καρδίας ἡμῶν, γεωργήσαντα, τὴν ἄρουραν ἀρότρῳ, Αὐτοῦ τῆς χρηστότητος, πάντας κατηύφρανας.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Τὰς θλίψεις τοῦ βίου καὶ ὀδύνας, ὑπέμεινας ὥσπερ ὁ Ἰώβ, συζύγου καὶ τῶν τέκνων σου, τὸν θάνατον

δεχόμενος, Γεώργιε τρισένδοξε, ὡς δῶρον πάντιμον, θεόθεν κομισθέν σοι· διόπερ, ἔψαλλες· ὁ μόνος, Θεὸς εὐλογητὸς εἶ.

Ἰλύος φροντίδων τῶν τοῦ βίου, καθάρας τὸ ὄμμα τῆς ψυχῆς, πρὸς οὐρανὸν προσέβλεψας, Γεώργιε καὶ εἴληφας, ἰσχὺν πατεῖν τοῦ δαίμονος, τὰ μηχανήματα, πολίχνης Γοματίου σεμνότης, καὶ φιλαλληλίας, σεπτὴ στηλογραφία.

Ὁσίων ὁμότροπε τῶν πάλαι, ὡς λύχνος ἐξέλαμψας λαμπρούς, ἐν τοῖς ἐσχάτοις ἔτεσι, καὶ ἅπαντας κατηύγασας, Γεώργιε πυρσεύμασιν, ἀγάπης κρέιττονος, ῥυόμενος τοὺς πέλας ἐκ πάσης, θλίψεως ἀνάγκης, καὶ βίου δυσχερείας.

*Θεοτοκίον.*

Ὑπέραγνε Μῆτερ τοῦ Ὑψίστου, καθάγνισον ἵνα Σε ὑμνῶ, τὴν ἐναγῆ τοῖς πτασίμασι, ψυχήν μου ἱκετεύω Σε, καὶ τῷ Υἱῷ Σου πάντοτε, προσφέρω αἴνεσιν, ἐκ τῆς ἐμῆς καρδίας μυχίων, τῷ λυτρώσαντί με, ἐκ συμφορῶν θανάτου.

*Ἕτερος. Ὁ αὐτός.*

Ἀρχαίων Πατέρων ὑπεμφαίνων, τὴν ἄσκησιν καὶ ὑπομονήν, θεοτελῶς ἐβίωσας, ἐν Ὄρει τῷ τοῦ Ἄθωνος, καὶ χάριν τὴν οὐράνιον, σοφὲ προσείλκυσας, Γερβάσιε τὴν δέιξασαν κόσμῳ, σὲ ἁγιωσύνης, ὑπέρλαμπρον δοχεῖον.

Σαλὸν προσποιούμενος θεόφρον, σαρκός σου ἐμάρανας ὁρμάς, καὶ φεύγων πάντα ἔπαινον,

ἀνθρώπων περιέδραμες, τὸν Ἄθωνα Γερβάσιε, ὀφθεὶς ἀσύλητον, ταμεῖον ταπεινώσεως· ὅθεν, σὲ ὑμνολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἰσχὺν περιεζωσμένος θείαν, δαιμόνων ἐπάταξας ὀφρύν, καὶ ταπεινῶς σκεπτόμενος, ὀνειδισμοὺς Γερβάσιε, ἐδέχου χαίρων Ὅσιε, τῶν συνασκούντων σοι· διό σε μακαρίζομεν πάντες, κατὰ τὴν τοῦ Κτίστου, ἡμῶν Σωτῆρος ῥῆσιν.

*Θεοτοκίον.*

Ὡς οἶκον σεπτὸν Θεοῦ τοῦ ζῶντος, καὶ τέμενος πάγχρυσον Αὐτοῦ, Σὲ Κόρη μακαρίζομεν, τὴν τῶν ἁπάντων Κύριον, δεχθεῖσαν ἐν τῇ μήτρᾳ Σου, καὶ σάρκα βρότειον, ἐνδύσασαν Αὐτῷ ἵνα γένος, τὸ ἡμῶν θεώσῃς, ὑπερδεδοξασμένη.

*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον. Τοῦ Ὁσίου Γεωργίου.*

Ἑορτὴν χαρμόσυνον, τοῦ Γεωργίου, γηθοσύνως ἄγοντες, τοῦ Γοματίου οἱ χοροί, καὶ τοὺς αὐτοῦ νῦν γεραίροντες, σεπτοὺς ἀγῶνας, Χριστὸν μεγαλύνομεν.

*Δόξα. Ὅμοιον. Τοῦ Ὁσίου Γερβασίου.*

Εὐσεβούντων σύλλογοι, καὶ μονοτρόπων, αἱ χορεῖαι σήμερον, τοῦ Γοματίου τὸν βλαστόν, καὶ Καρακάλλου τὸ σέμνωμα, ὕμνοις τιμῶμεν, τὸν θεῖον Γερβάσιον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.*

Τύπος γέγονας ἐνθέου, ἐν σπηλαίῳ ἀσκήσεως, προσευχῆς νηστείας, καὶ ἀκτημοσύνης Γεώργιε· δι' ὧν Χριστῷ τῷ Κυρίῳ εὐηρέστησας, καὶ ἐτρόπωσας, τὸν πολυμήχανον δαίμονα.

Ὁλοτρόπως τῷ Κύριῳ, ἀνακείμενος Ὅσιε, ἀρετῆς ἐργάτης, γνήσιος Γεώργιε πέφηνας, καὶ ἐραστὴς ἡσυχίας ἐνθεώτατος, ἅμα πρύτανις, τῆς τῶν πτωχῶν ἀγαπήσεως.

Ἀνυψώσας δι' ἀγώνων, ἑκουσίας στερήσεως, καὶ κακοπαθείας, τὸν σὸν νοῦν Γεώργιε Ὅσιε, πρὸς δυσαντίβλεπτον ὕψος σκεῦος τίμιον, ὤφθης Πνεύματος, τοῦ παναγίου καὶ εὔχρηστον.

*Θεοτοκίον.*

Νόμων φύσεως Παρθένε, Θεοτόκε βοῶμέν Σοι, ὑπερτέρα ὄντως, ἀνεδείχθης κόσμῳ κυήσασα, ἐν τῇ ἁγνῇ Σου νηδύϊ τὸν Θεάνθρωπον, τὸν Σὲ πάναγνον, καὶ μετὰ τόκον τηρήσαντα.

*Ἕτερος. Ὁ αὐτός.*

Τὴν ὁσίαν βιοτήν σου, ὁ καλῶν ἔργων Κύριος, βραβευτὴς θεόφρον, Ἄθω φρυκτωρὲ ἀμειβόμενος, χάριν πολλὴν μετὰ πότμον σοι δεδώρηται, εὐωδέστατον, ποιῶν τὸ θεῖόν σου λείψανον.

Ὡς ζωῆς πνευματοφόρου, ὑφηγήτορα ἔνθεον, σὲ ὑμνολογοῦμεν, Ὅσιε Κυρίου Γερβάσιε, τὴν τοῦ βελίαρ ἀπάτην ἀντικρούσαντα, γενναιότατα, ὑπομονῆς σου τοῖς ξίφεσιν.

Οὐρανίων χαρισμάτων, ἐμπλησθεὶς τῶν τηρούντων σε, δέσμιον ἅπαντων, ἐν τῇ γῇ ἀπέστης Γερβάσιε, καὶ τῷ Σωτῆρι ἡνώθης Ὃν ἱκέτευε, πάντας ῥύσασθαι, τοὺς σὲ τιμῶντας ἐκ θλίψεων.

*Θεοτοκίον.*

Λάμπρυνόν μου Θεομῆτορ, τῆς καρδίας τὸ ἔνδυμα, ταῖς τῆς μετανοίας, θείαις ἀστραπαῖς ὡς ἂν ὄρθριος, τῇ παναγίᾳ προσπίπτω παῤῥησίᾳ Σου, πρὸς Ὃν ἔτεκες, ἐκ τῶν ἀσπίλων λαγόνων Σου.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Θεόφρον Γεώργιε, φλεγόμενος τῷ ἄνθρακι, τῆς φιλαλληλίας ὤφθης πάντων, τῶν ἐν ἀνάγκαις, καὶ συμφοραῖς ἀρωγός, παρέχων τοῖς δήμοις τῶν βροτῶν, τύπον ἀκηλίδωτον, θεαρέστου βιώσεως.

Ὁσίων τοῖς σκάμμασι, σοφὲ καλλωπιζόμενος, τίμιος θεράπων τοῦ Κυρίου, ἐδείχθης πήξας, ἀσκητικὴν καλιάν, τὴν σὴν ὡς φιλέρημος τρυγών, Γοματίου πρόβολε, ἐν σπηλαίῳ Γεώργιε.

Συντόνῳ ἀσκήσει σου, τῶν γεηρῶν Γεώργιε, καὶ ῥεόντων γέγονας ἁπάντων, ξένος πρὸς πόλιν, τὴν νοητὴν ἐν Ἐδέμ, ταχὺ ἐπειγόμενος κλεινέ, ἧσπερ καὶ ἠξίωσαι, τελευτῶν τὸν ἀγῶνά σου.

*Θεοτοκίον.*

Γηθόμενοι σπεύδομεν, ὑμνῆσαί Σε πανύμνητε, τὴν τοῦ Γεωργίου θείαν σκέπη, καὶ τῶν Ὁσίων, ἀληθινὴν χαρμονήν, βοῶντες· καρδίας τῆς ἡμῶν, πέλεις ἀγαλλίαμα, Μητροπάρθενε Δέσποινα.

*Ἕτερος. Ὁ αὐτός.*

Βιώσας Γερβάσιε, ὡσεὶ σαλὸς ἐν Ἄθωνι, πάντων ἐχεφρόνων μονοτρόπων, ἐπώφθης τύπος, θεοφιλὴς καὶ κανών, εὐθύτατος· ὅθεν ὁ Χριστός, μύρῳ εὐωδίασε, τὸ σὸν πάντιμον σκήνωμα.

Ἰσχὺν θείαν Ὅσιε, ἐνδεδυμένος ἤνεγκας, τοῦ ὀνειδισμοῦ καὶ χλεύης θλίψεις, ὡσεὶ φορτίον, ἀνδροπρεπῶς ἐλαφρόν, Γερβάσιε· ὅθεν ὁ Χριστόν, νίκης διαδήματι, σὲ ἀξίως κατέστεψεν.

Ὡς χάριτος ἔσοπτρον, καὶ πύργον ταπεινώσεως, οἱ ἐν Καρακάλλου τῷ σεμνείῳ, οἰκοῦντες Πάτερ, ἐν ᾧπερ ἀγγελικόν, τὸ σχῆμα Γερβάσιε κλεινέ, εἴληφας γινώσκουσι, καὶ ἐν σοὶ ἐπαγάλλονται.

*Θεοτοκίον.*

Μητρόθεε Ἄνασσα, ἡλίου θεῖον ὄχημα, τῆς δικαιοσύνης φώτισόν μου, τὴν σκοτισθεῖσαν, καρδίαν καὶ ταῖς βολαῖς, Ἐκείνου καταύγασον τὸν νοῦν, τοῦ ἀχρείου δούλου Σου, προσκυνῶ Σε κραυγάζω Σοι.

*ᾨδὴ στ᾽. Τὴν θείαν ταύτην.*

Εὐχὰς ἀπαύστως πρὸς Κύριον, ψελλίζων θεοφόρε Γεώργιε, καὶ διατώμενος, λαχάνοις μόνον διέπλευσας, τὸ πέλαγος τοῦ βίου, ἐν τῷ σπηλαίῳ σου.

Ὡς ῥόδον εὔοσμον ἤνθησας, ἐν κώμῃ Γοματίου Γεώργιε, καὶ τῆς ἁπλότητος, ταῖς σαῖς ὀσμαῖς καὶ χρηστότητος, τὴν Ἐκκλησίαν πᾶσαν, Χριστοῦ ἐπλήρωσας.

Ῥοαῖς δακρύων Γεώργιε, τῶν σῶν καὶ ὁλονύκτοις ἐντεύξεσι, καθοπλισάμενος, σαὐτὸν ἀντέστης στεῤῥότατα, κατὰ τοῦ μισοκάλου, καὶ στέφος εἴληφας.

*Θεοτοκίον.*

Γινώσκοντές Σε πανάχραντε, λυχνίαν φωταυγῆ καὶ εὐρύχωρον, τοῦ Λόγου σκήνωμα, χαρμονικῶς ἐκβοῶμέν Σοι· ἁγνὴ Παρθένε χαῖρε, θεοχαρίτωτε.

*Ἕτερος. Ὁ αὐτός.*

Ἐχθροῦ σοβῶν τὴν κακότητα, ἑώρακας Χριστοῦ τὴν λαμπρότητα, καὶ ἀνατέταλκας, ὡσεὶ λαμπτὴρ φαεινότατος, τῶν μοναζόντων νέος, λαμπρὲ Γερβάσιε.

Λαμπὰς ὡς ἄλλη ἀείφωτος, ἀνήφθης πρὸ τοῦ θρόνου τοῦ Κτίσαντος, σοφὲ Γερβάσιε, καὶ ἠναλώθης τοῖς σκάμμασι, τῆς ἐν Χριστῷ πτωχείας, καὶ ταπεινώσεως.

Ἰδεῖν τὰ θεῖα σκηνώματα, καὶ κάλλη τὰ οὐράνια πρόσκαιρον, πατρίδα ἔλιπες, καὶ ἐν τῷ Ἄθῳ κατώκησας, γενόμενος Ὁσίων, ἀζύγων πρότυπον.

*Θεοτοκίον.*

Σοφίας Μῆτερ μὲ ἔμπλησον, τὸν Σοὶ προσπεφευγότα οἰκέτην Σου, ταῖς Σαῖς ἐντεύξεσι, πρὸς τὸν Υἱόν Σου καὶ Κύριον, βοῶντα· Χαῖρε φρέαρ, ἐνθέου γνώσεως.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Τοῦ Γοματίου ἱερώτατα ἐκθρέμματα, καὶ Ἐκκλησίας τηλαυγέστα πυρσεύματα, οἱ τὸν βίον διαπλεύσαντες

ἰσαγγέλως, ἱκετεύσατε Γεώργιε τρισένδοξε, καὶ Γερβάσιε σεπτὲ τὸν Παντοκράτορα, πάντας ῥύσασθαι, τῶν δεινῶν τῆς κολάσεως.

*Ὁ Οἶκος.*

Τοὺς νεοθαλεῖς βλαστοὺς τοῦ Γοματίου, καὶ Ἐκκλησίας τὰ ἄνθη τὰ εὔοσμα, δεῦτε πιστοὶ πάντες ἐγκωμιάσωμεν· πρῶτον μὲν τὸν θεόσοφον Γεώργιον, τὸν δι᾽ ἔργων φιλανθρωπίας κεκοσμημένον, καὶ ἀπεριτρέπτῳ καρδίᾳ, τῆς ἀγάπης τοὺς καρποὺς γεωργήσαντα· εἶτα δὲ τὸν ἐν ἐγκρατείᾳ καὶ ταπεινώσει, πατήσαντα τὸν μισόκαλον δαίμονα, τὸν ἐν τῇ Μάνδρᾳ τοῦ Καρακάλλου, καλῶς ἀγωνισάμενον, καὶ ἄφθονον χάριν ἐξ οὐρανοῦ κομισάμενον. Οὗτοι γὰρ νῦν τὰς ἀμοιβὰς τῶν καμάτων δρεπόμενοι, πρεσβεύουσιν ἀπαύστως Χριστῷ τῷ Θεῷ, πάντας ῥύσασθαι τῶν δεινῶν τῆς κολάσεως.

*Συναξάριον.*

Τὸ τοῦ Μηναίου καὶ εἶτα τὸ ἑξῆς:

Τῇ αὐτῇ, Μνήμη τῶν Ὁσίων Πατέρων Γεωργίου τοῦ νέου, καὶ Γερβασίου τοῦ διὰ Χριστὸν Σαλοῦ, τῶν ἐκ Γοματίου Χαλκιδικῆς καταγομένων.

*Ψυχὴν γεωργήσας ἀγάπης ἀρότρῳ,*
*ὡς πάγκαρπος ὤφθης, Γεώργιε, φοῖνιξ.*
*Ὡς ἄλλος Ἀνδρέας σαλὸς ἐν τῷ Ἄθῳ,*
*ἔβίωσας ἄρτι, Γερβάσιε θεῖε.*

*Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Ἴον εὔοσμον τὸ φυτευθὲν Γεώργιε παρὰ τῆς χάριτος, ταῖς πανιέροις αὐλαῖς, ἐμύρισας ἅπαντας, ὀσμαῖς ἀῤῥήτοις σου, ἀγαπήσεως, τοὺς ἐν τῇ κώμῃ στένοντας, τῇ κλεινῇ τοῦ Γοματίου.

Οὐρανόφοιτε Γεώργιε ἀκάματε τῶν κήπων τίμιος, καὶ ἀμπελώνων πτωχῶν, ἐργάτης γενόμενος, τὸ ἀντιμίσθιον, τῶν καμάτων σου, ἐταμιεύσω Ὅσιε, ἐν τραπέζῃ οὐρανίῳ.

Σοῦ τὸ λείψανον τὸ ἱερὸν ἀνάπλεον τῆς θείας χάριτος, οἱ τῆς σῆς κώμης πιστοί, εὑρόντες Γεώργιε, ἐν τῷ σπηλαίῳ σου, ἀνεκόμισαν, καὶ τάφῳ ἐναπέθεσαν, ἐν ὁδῷ πλησιοχώρῳ.

*Θεοτοκίον.*

Τοῖς ἀτόποις μου βορβορωθέντα παίσμασι καὶ ῥυπωθέντα με, κάθαρον ῥύπου ἁγνή, Παρθένε καὶ ὄμβρους μοι, δακρύων πάρεχε, ἵνα κράζω Σοι· καθαρτικὸν κηλίδων μου, χαῖρε νέφος ὀμβροφόρον.

*Ἕτερος. Ὁ αὐτός.*

Μιμησάμενος τοὺς πάλαι διαπρέψαντας σαλοὺς Γερβάσιε, Ἀνδρέαν καὶ Συμεών, φωστὴρ ταπεινώσεως, ἐδείχθης πάμφωτος, καὶ ἐκραύγαζες· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἀναδέδειξαι τῆς Καρακάλλου σέμνωμα Μονῆς καὶ καύχημα, τοῦ Γοματίου κλυτέ, Γερβάσιε· ὅθεν σου, τὴν μνήμην σήμερον, τὴν πανίερον, τελοῦντες τὸν δοξάσαντα, σὲ Χριστὸν δοξολογοῦεν.

Χαίροις κράζομεν ὁ πρὸς ζωῆς ἀνέσπερον δραμὼν Γερβάσιε, καλῶς τὸν ἐπὶ τῆς γῆς, τελέσας ἀγῶνά σου, καὶ σὺν ταῖς τάξεσι, ἀριθμούμενος, τῶν νοητῶν δυνάμεων, νῦν καὶ δήμοις τῶν Ὁσίων.

*Θεοτοκίον.*

Ἀειπάρθενε ἀεί Σε μακαρίζομεν ὡς σωματώσασαν, Θεὸν τὸν ἀληθινόν, φθορᾶς γένος βρότειον, ἡμῶν ῥυσάμενον ἀνακράζοντες· τῆς σωτηρίας πρόξενος, πέλεις πάντων Θεοτόκε.

*ᾨδὴ η’. Παῖδας εὐαγεῖς.*

Ἴχνεσι Γεώργιε βαδίσας, τῶν πρότερον πολιτείας καθαρότητι, εὐποιΐας πράξεσι, καὶ πολλῇ πραότητι, τῆς ὑφηλίου Κύριον καὶ πολυέλεον, Χριστὸν μεγαλυνάντων τῆς δόξης, ἔτυχες τῆς θείας, μεθ’ ὅλων τῶν Δικαίων.

Μόνον τοῦ παντάνακτος τὸ κάλλος, ἐπόθησας Γοματίου ἐγκαλλώπισμα, Ὅσιε Γεώργιε· ὅθεν διελήλυθας, τὴν βιοτήν σουμοῖάπερ, ἀγάπης ἄγγελος, δυνάμενος πτωχοὺς συμπαθῆσαι, καὶ αὐτῶν τὰς χρείας, τοῦ βίου θεραπεῦσαι.

Ἄκακος πανόσιός τε πρᾶος, καὶ γνώμων φιλαλληλίας ἀκριβέστατος, ὤφθης ἱερώτατον, Γοματίου βλάστημα, Γεώργιε τρισένδοξε· διὸ ὁ Κύριος, κατέταξε μετὰ τῶν Δικαίων, καὶ Ἁγίων πάντων, τὴν εὐλαβῆ ψυχήν σου.

*Θεοτοκίον.*

Στάμνος χρυσοστόλιστος ὑπάρχεις, ὡς φέρουσα κόσμῳ Ἄρτον τὸν οὐράνιον, καὶ θυμιατήριον, πάγχρυσον Παντάνασσα, Σὺ γὰρ ἐν τῇ νηδύϊ Σου τὸν παντοκράτορα, ἐχώρησας δραξὶ τὸν κρατοῦντα, ἅπασαν τὴν κτίσιν, ἀχώρητον τοῖς πᾶσι.

*Ἕτερος. Ὁ αὐτός.*

Ῥῶσιν τὴν κατ᾽ ἄμφω μοι παράσχου, ψυχῆς ἅμα καὶ τοῦ σώματος Γερβάσιε, ὡς τῷ τοῦ παντάνακτος, θρόνῳ παριστάμενος, καὶ στέφος κομισάμενος, αἰωνιότητος, δρακόντων κεφαλὰς ὁ συνθλάσας, τῇ σῇ θεαρέστῳ, καὶ καρτερᾷ ἐνστάσει.

Ἄγγελος ἐδείχθης ἐν ἀσκήσει, στεῤῥᾷ καὶ ἀκαταπλήκτῳ τοῖς ἐχέφροσι, μοναστaῖς τοῦ Ἄθωνος, Ὅσιε Γερβάσιε, ἐν τοῖς ἐσχάτοις ἔτεσι· καὶ νῦν τοῖς τάγμασι, συνὼν τοῖς τῶν ἀΰλων Ἀγγέλων, σὺν αὐτοῖς τῷ Κτίστῃ, ὑπὲρ ἡμῶν πρεσβεύεις.

Λάμψεσι τῶν σῶν κατορθωμάτων, Γερβάσιε ἅπασαν φαιδρῶς, αὐγάζεις τὴν ὑφήλιον, καὶ τὴν σεπτὴν ὁμήγυριν, φωτίζεις τῆς πατρίδος σου, ἐξ ἧς ἀνέτειλας, ὡς ἄστρον σελασφόρον καὶ μάνδρας, τῆς τοῦ Καρακάλλου, ἐν ᾗ ἀνεγεννήθης.

*Θεοτοκίον.*

Ἄνθος ὡς φησὶν ὁ Ἡσαΐας, τὸ ἄφθαρτον Κύριον Χριστόν, ἀποτίστως Ἄνασσα, ῥάβδος ἡ βλαστήσασα, ἀνέθαλες καὶ ἔδωκας, τῷ κόσμῳ ἅπαντι, μυρίσαι καὶ ζωῆς τῆς ἀλήκτου, εὐωδίᾳ θείᾳ, αὐτὸν καταπληρῶσαι.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Θείων ἀρετῶν, πλησθεὶς κατηγλάϊσας, τοὺς ἐν τῇ κώμῃ σου, κατοικοῦντας Ὅσιε, τοὺς πᾶππον θεῖε ἀποκαλοῦντάς σε, Γεώργιε καὶ χάριτι, τῇ σῇ προστρέχοντας, ἐν ἀνάγκαις, συμφοραῖς καὶ θλίψεσιν, ἀρωγὴν ταχινὴν ὅπως εὕρωσιν.

Ὡς τὸν ἰατρόν, σὲ πάντες γινώσκουσι, σεπτὲ Γεώργιε, καὶ πηγὴν ἰάσεων, παντοίων· ὅθεν, τῇ τῶν λειψάνων σου, ἁγίᾳ θήκῃ σπεύδουσι, ὑμνολογοῦντές σε, οἱ ἐξ ἄλγους, ζοφεροῦ τρυχόμενοι, καὶ δεινῆς ἀσθενείας πανόσιε.

Χεύμασι τῶν σῶν, εὐχῶν πρὸς τὸν Κύριον, κἀμὲ ἐπόμβρισον, Ὅσιε Γεώργιε, τῷ τηκομένῳ, ἀπείροις πάθεσι, καὶ ὥσπερ δῶρον πρόσδεξαι, τὴν ὑμνῳδίαν μου, ἣν ἐκ νόσων, χαλεπῶν ῥυόμενος, τῇ δοθείσῃ σοι χάριτι ἔπλεξα.

*Θεοτοκίον.*

Ἄχρονον Θεόν, καὶ κτίσεως Ἄνακτα, ἐν χρόνῳ Δέσποινα, ἀνηρότως ἔτεκες, καὶ μετὰ τόκον παρθένος ἔμεινας· διὸ τὰ μεγαλεῖά Σου, ὑμνοῦντες κράζομεν· Θεοτόκε, χαῖρε ἀειπάρθενε, ταχυτάτη μερόπων βοήθεια.

*Ἕτερος. Ὁ αὐτός.*

Μὴ σοφὲ ἡμᾶς, ἀπώσῃ Γερβάσιε, τοὺς μελῳδοῦντάς σε, ἀλλ᾽ ἐπιβραβεύου νῦν, τοῖς σὲ τιμῶσι ζωὴν αἰώνιον, πρεσβείαις σου πρὸς Κύριον, τὸν πολυέλεον, ἐκμαγεῖον, μοναστῶν περίλαμπρον, καὶ Μονῆς Καρακάλλου ἐντρύφημα.

Πλοῦτος ἀσκητῶν, ἐδείχθης Γερβάσιε, σεμνὸν ἀνάστημα, τοῦ τῆς Θεομήτορος, τερπνοῦ λειμῶνος, τοῦ ἐν τῷ Ἄθωνι, καὶ μάχαιρα ἀμφίστομος, ἐχθροῦ συγκόπτουσα, τὴν μανίαν· ὅθεν νῦν τελοῦμέν σου, τὴν λαμπρὰν καὶ φωσφόρον πανήγυριν.

Ὅλῃ σε ψυχῇ, καρδίᾳ καὶ χείλεσι, γεραίρω Ὅσιε, τὸν παννύχοις στάσεσιν, ἀτρύτοις πόνοις, δακρύων χεύμασι, καὶ προσευχαῖς ἀπαύστοις σου, εὐαρεστήσαντα, τῷ Σωτῆρι, Ὃν δυσώπει δοῦναί μοι, σὴν εἰρήνην θεόφρον Γερβάσιε.

Ὕμνον εὐμενῶς, προσδέχου Γερβάσιε, τὸν προσφερόμενον, σοὶ ὅνπερ ἐξύφηνα, σὰ κατορθώματα, καὶ δώρησαί μοι ἄφεσιν, πταισμάτων δέομαι, ταῖς λιταῖς σου, πρὸς Χριστὸν ἑκάστοτε, καὶ Σωτῆρα ἡμῶν μόνον Κύριον.

*Θεοτοκίον.*

Χεῖράς Σου σεπτάς, ἁγνὴ ἀειπάρθενε, τὰς τὸν Φιλάνθρωπον, βαστασάσας Κύριον, εἰς ἱκεσίαν ὑπὲρ τῶν δούλων Σου, ἀνάτεινον καὶ λύτρωσαι, δεινῶν κολάσεως, τοὺς πρεσβείαν, αἰτουμένους πάντοτε, τὴν σεπτήν Σου πανύμνητε Δέσποινα.

*Ἐξαποστειλάριον. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.*

*Ὁσίου Γεωργίου.*

Ταῖς ἀρεταῖς διέλαμψας, ἐν τοῖς ἐσχάτοις ἔτεσι, καὶ πλουτισμὸς τῶν πενήτων, σημειοφόρε ἐδείχθης· διὸ καὶ χάριν εἴληφας, τῶν ὤτων τὰ νοσήματα,

πανευλαβὲς Γεώργιε, ἰδιαζόντων ἴασαθι, παρὰ Χριστοῦ τοῦ Σωτῆρος.

*Ἕτερον. Τοῦ Ὁσίου Γερβασίου. Ὅμοιον.*

Ἀσκητικῶς ἐν Ἄθωνι, Γερβάσιε διέπρεψας, ἐπ᾽ ἀρετῇ καὶ σοφίᾳ, Σαλοῦ Ἀνδρέου τοὺς τρόπους, μιμούμενος καὶ γνήσιος, Χριστοῦ τοῦ Παντοκράτορος, ἐπώφθης φίλος· ὅθεν σου, τὴν ἀεισέβαστον μνήμην, χαρμονικῶς νῦν τιμῶμεν.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πάτερ ἱερὲ Γεώργιε, τὸ πῦρ Χριστοῦ τοῦ Θεοῦ, ἐν καρδίᾳ δεξάμενος, νουνεχῶς κατῴκησας, ἐν σπηλαίῳ δεόμενος, Χριστοῦ πλουτίσαι, πτωχοὺς καὶ κάμνοντας, ὧν ἀντιλήπτωρ, ἐπώφθης τάχιστος· ὅθεν τὴν μνήμην σου, τὴν ἁγίαν ἄγοντες νῦν ἐν ᾠδαῖς, στέφομεν δοξάζοντες, τὸν σὲ δοξάσαντα.

Πάτερ ἱερὲ Γερβάσιε, ἐν ταπεινώσει πολλῇ, τὸν σὸν βίον διήνυσας, καὶ ἐδείχθης πρότυπον, ἀπαθείας ἐν Ἄθωνι· σὺ γὰρ τὴν μάνδραν, τῆς μετανοίας σου, τοῦ Καρακάλλου, ῥοαῖς ἱδρῶτων σου, θείων κατήρδευσας, καὶ σαλῶν μιμούμενος τὴν βιοτήν, χλεύην καθυπέμεινας, καρτερικώτατα.

Πάτερ ἱερὲ Γεώργιε, ἀναλαβὼν τὸν Σταυρόν, τοῦ Κυρίου ἐπ᾽ ὤμων σου, τούτῳ ἠκολούθησας, καὶ κατοίκους κατηύφρανας, τοῦ Γοματίου, τοὺς πάππον Ὅσιον, ἀποκαλοῦντας, σὲ πανσεβάσμιε· ὅθεν

πεπλήρωσαι, καὶ ἀΰλου λάμψεως ἧς καὶ ἡμᾶς, τοὺς σὲ ὕμνοις μέλποντας, αὐτόπτας ποίησον.

Πάτερ ἱερὲ Γερβάσιε, τὴν σὴν σεπτὴν βιοτήν, μετὰ πότμον ἐγνώρισε, τοῖς ἀζύγων τάγμασι, ὁ τιμήσας σε Κύριος· τὸ γὰρ σὸν σκῆνος, ὀσμὴν πανάῤῥητον, τοῖς ρποσιοῦσιν, αὐτῷ ἐξέχεε, καὶ κατεμύρισε, τοὺς ἐγγὺς μονάζοντας καὶ τοὺς μακράν, χείμαῤῥε χρηστότητος, καὶ ταπεινώσεως.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῶν Ὁσίων Πατέρων ἡ ξυνωρίς, ἡ κοινὴν ἕλκουσα τὴν καταγωγήν, ἄρτι τῶν πάλαι Ἁγφίων, ἰχνηλάτησε τὸν βίον. Αὕτη γὰρ ἐν ἐγκρατείᾳ, οἰκτιρμοῖς πενήτων, φιλαλληλίας πράξεσι, καὶ πολλῇ ταπεινώσει, προσείλκυσε τὸ ἔλεος τοῦ Κυρίου· διὸ καὶ αὐτὴν προφρόνως μακαρίζοντες, ἀνευφημοῦμεν κράζοντες· ὦ Γεώργιε καὶ Γερβάσιε, Γοματίου γόνοι πάντιμοι, Χριστῷ πρεσβεύσατε, σώζεσθαι τοὺς τιμῶντας, ὑμῶν τὸ μνημόσυνον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάρια.*

Χαίροις εὐσεβείας ὁ θησαυρός· χαίροις εὐποιΐας, ἔργων ἔρνος μυρεψικόν· χαίροις τὴν πτωχείαν, Χριστοῦ ὁ ἀγαπήσας, καὶ τοὺς πτωχοὺς πλουτίσας, μάκαρ Γεώργιε.

Χαίροις τῶν Ὁσίων ὁ κοινωνός· χαίροις τῆς ἐνθέου, ταπεινώσεως ὁ κανών· χαίροις Καρακάλλου, ἀγλάϊσμα τὸ νέον, καὶ Γοματίου κλέος, Πάτερ Γερβάσιε.